**THESAURUS LINGUAE GRAECAE ®**
A Digital Library of Greek Literature
Project Director: Maria Pantelia



## BROWSER

Franciscus PHILELPHUS

Lines: 30
Display: Greek
Links: Active



**Franciscus PHILELPHUS, *De psychagogia*. {3293.004}**

**1.**
**(1)**

Ἄστρον ἐν ἀνθρώποις, ὦ πάντων φέγγος ἀνάκτων,
εἶ κλέος ἡμετέρων καὶ μέγα θαῦμα χρόνων·
τὰς πράξεις Ἀλφόνσε λίην πολλάς τε καλάς τε
νῦν σέο βουλόμενος ᾆσαι ἐμοῖς μέλεσιν,
οὐδὲν ἔχω γε λαβεῖν πέρας, οὐδὲν μέτρον ἐπαίνων,
οἷς σε θεὸς κοσμεῖ σὴν διὰ τὴν ἀρετήν·
καὶ γὰρ ὁ τῷ θείῳ ταῖς πράξεσι χρώμενος ἴσαις,
πάντα καλῶς πέπραχεν, πάντ᾽ ἀγαθῶς τέλεσεν·
οὐ βροτὸς οὐ βασιλεὺς ἕτερος ζῶν ποῦ ποτε γαίης
ἐστὶ σέο κρείττων ἢ λόγῳ ἠδὲ νόῳ·
σῆς μέγεθος ψυχῆς Ἀφρικὴ πολυλήϊος εἶδεν
Ἰταλίης τ᾽ ἔθνος ὅπλα φρυασσόμενον·
ἔσχατος ἰφθίμων σὸν τοὔνομα λαὸς Ἰβήρων
αἰδεῖται· σὲ Θέτις Ὠκεανός τε σέβει.
Οὐδὲ μία κοσμεῖ σ᾽ ἀρετὴ ὦ κοίρανε· πάσας
μοῦνος ἔχεις, ὅσσαι ἀνδράσιν εἰσὶν ὅλοις.
Ἐν πρώτοις παρὰ σοὶ διαλάμπει θοὔσιον ἶσον,
κᾀὐσεβὲς ὦ βασιλευ καὶ μέτα δῖα δίκη.
Σώφρονα πάντα τά σου, μεγαλήτορα πάντα σοφόν τε
ἔργα σε καὶ συνετὸν κοίρανε θεῖε πόρεν·
οὐδὲν ἀπ᾽ ἀγνοίας τελέεις· νοῦς πάντα κελεύει
καὶ λόγος εὖ ποιεῖν, ὅσσαπερ αὐτὸς ἄγεις.
Ἄξιος εἶ τοίνυν, ὃν πάντες θαύματι μοῦνον
ἀσπάζωνται ἄναξ ἠδὲ ποθῶσι σέβειν.
Οὗ γε χάριν σὲ θεαὶ Μοῦσαι Φοῖβός τε φιλοῦσιν,
κᾀὐτὸς ἀγαλλόμενος σαῖς ἀρεταῖς ἄγαμαι.
Τοὔνεκά σοί γε πάρα λογίοις τόπος ἐστὶ σοφοῖς τε
ἄξιος ἀνδράσι δὴ οἵ σε κοροῦσιν ἄναξ.
Ὡς πάντες ποταμοὶ δίᾳ χωροῦσι θαλάσσῃ,
ὣς τεὰ τοὺς ἀγαθοὺς δώματα πάντας ἄγει.
Εὖ δὲ σὺ καὶ ποιῶν τυγχάνεις κοίρανε φήμην

### Cite this Work

E.V. Maltese, *Francesco Filelfo De psychagogia*, Alessandria, Italy: Edizioni dell'Orso, 1997: 29-143.
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3293:004:0

### Translation

### Morphological Analysis and Lexica

### N-grams

### Statistics

## BROWSER

Franciscus PHILELPHUS

Lines: 30
Display: Greek
Links: Active

Search this text | Text Structure | Links: Morphology/Lexica || N-Grams Select || Statistics | A | A | A

Section 1 poem 1 line 46 GO

Prev | Next

**Franciscus PHILELPHUS, *De psychagogia*. {3293.004}**

Εὖ δὲ σὺ καὶ ποιῶν τυγχάνεις κοίρανε φήμην
 τιμήσας· αὕτη ἀθάνατος πέλεται.
Πῶς γὰρ ἕλοι θάνατος φήμην βασιλεῦσιν ἀρίστοις
 ἣν θεία γλυκεροῖς ἄσμασι Μοῦσα τρέφει;
ἀλλά σοι ὦ βασιλεῦ ταύτην ἂρ ὀφείλομεν ἄνδρες
 πάντες ὁμοῦ, ὅσσους φράσεως ἰσχὺς ἔχει,
οὐδ' Ἰταλῶν μούνη σὸν τοὔνομα γλῶττα φυλάττει,
 ἀλλὰ καὶ Ἑλλήνων βάρβιτος ἠδὲ λύρα.
Οὐ γὰρ ἄναξ Ἀλφόνσε βροτοῖς θνητοῖσιν ὑπάρχεις
 ἴκελος, ἀλλὰ θεῷ, οὐρανὸν ὅστις ἔχει.
Μοῦσα Διὸς θύγατερ, ὃς Ὀλύμπου δώματα ναίει,
 ᾆδε τὸν Ἀλφόνσον γλυκεροῖς ἐν μέλεσιν,
τῷ τίνα Πελλαῖον, τίνα Καίσαρα Πιερὶς ἄλλον,
 ἢ τίνα Πηλλήδην Δαρδάνιόν τε βάλοις;
τοῦτον ἂν ἡμέτερός τε Μάρων καὶ θεῖος Ὁμήρου
 θυμὸς ἀοιδῆσιν πρῶτον ἑλεῖν ἔθελεν·
μοῦνον ἐγὼ τοῦτον τολμῶ βασιλεῦσι βροτοῖς τε
 οὐκ ἀδικῶν γε βαλεῖν πᾶσιν ἄνακτα πάρα.
Οἶδα θεοῦ τούτῳ τῇ γνώμῃ πάντα γενέσθαι,
 ὃς θεὸν ἐν πάσαις πράξεσιν ἀρχὸν ἔχει. @1

**(2) Βησσαρίωνι τῷ καρδιναλίῳ Νικαεῖ**

Ὦ φάος θείας ἀρετῆς, σοφοῖσιν
πρῶτος ἐν πᾶσιν μέγεθος καὶ ἄκρον
κάλλος οὐκ ἤθους δολεροῖο δείξας
Βησσάριόν μοι,

σοὺς λέγειν τοίνυν γλυκεροῖς ἐπαίνους
ἄσμασι σπεύδων, πόθεν αὐτὸς ὕλην
ἀξίοις πρῶτον μέλεσιν τοσαύτην
ἄρξομ' ἀείδειν;

## Cite this Work

**E.V. Maltese, *Francesco Filelfo De psychagogia*, Alessandria, Italy: Edizioni dell'Orso, 1997: 29-143.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3293:004:1588

## Translation

## Morphological Analysis and Lexica

## N-grams

## Statistics

TLG - Browser

anus.tlg.uci.edu/Iris/indiv/browser.jsp#doc=tlg&aid=3293&wid=004&st=105871&pp=end&td=greek&l=20&links=tlg

artimento di St... YouTube Google Maps Wikipedia Amministrato - No... Ricerca avanzata ... Dictionary.com | ... MIUR - docente



BROWSER

Franciscus PHILELPHUS

Lines: 20
Display: Greek
Links: Active

Search this text | Text Structure | Links: Morphology/Lexica || N-Grams Select || Statistics | A | A | A

Section 3 poem 14 line 65 GO

Prev | Next

**Franciscus PHILELPHUS, *De psychagogia*. {3293.004}**

οἴεται κεῖσθαι ἐν ἀπεῖναι ὕλην
ἀντιασόντων.

Τόσσον ἐν λαοῖς τρόμον ὦρσε πᾶσιν,
ὥστε οὐδ’ ἐσθλούς τίνας ἤδη ἄνδρας
ποῦ ῥα τολμῆσαι χέρας ἀντιβάλλειν
εἵνεκα θείου·

Χριστοῦ ἡ πίστις σχεδὸν ἔρρ’ ἁπάση
ἡμέρας κἀνδρῶν ἀμελῶν τῷ ὄκνῳ·
μοῦνος εἶ θνητῶν σὺ πατὴρ ἁπάντων,
μοῦνος εἶ ἄρχων.

Καὶ μοῦνος δώσεις Ἰταλοῖς ἀγῶσι
τοῦ λύκου λυγροῦ κεφαλὴν βαρεῖαν·
καὶ θριαμβεύσεις μόνος ἐν Λατίνοις
τῶν περὶ Τούρκων.

Ματθίαν Οὔννων βασιλῆα πέμπεις
χρήμασιν Τούρκων κατὰ τῶν βιαίων,
πρᾶγμα καιρὸν πρὸς μάλα πολλὰ δῖον
ὠφέλιμόν τε·

εἰσὶ τοῖς Τούρκοις ὅμοροι γὰρ Οὖννοι
καὶ γένος λίην φοβερὸν τὰ ὅπλα,
ἄλκιμον καὶ τὸν θάνατον δι’ ἄγρας

Prev | Next

Section 3 poem 14 line 65 GO

## Cite this Work

**E.V. Maltese, *Francesco Filelfo De psychagogia*, Alessandria, Italy: Edizioni dell'Orso, 1997: 29-143.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3293:004:105140

## Translation

## Morphological Analysis and Lexica

## N-grams

## Statistics

TLG - Browser

anus.tlg.uci.edu/Iris/indiv/browser.jsp#doc=tlg&aid=3293&wid=004&st=105871&pp=start&td=greek&l=30&links=tlg

artimento di St... YouTube Google Maps Wikipedia Amministrato - No... Ricerca avanzata ... Dictionary.com | ... MIUR - docente



# BROWSER

Franciscus PHILELPHUS

Lines: 30
Display: Greek
Links: Active



Section 3 poem 14 line 90 GO

Prev | Next

**Franciscus PHILELPHUS, *De psychagogia*. {3293.004}**

ἄλκιμον καὶ τὸν θάνατον δι' ἄγρας
παῖζον ἀρίστης.

Κρείττονες τούτων Ἰταλοὶ τὸ σῶμα
τόν τε θυμὸν τῆς τε φυῆς τὸ ἄνθος,
ἀλλὰ διστάζουσιν ἀεὶ πρὸς ἄκρον
συμπολεμοῦντες·

Οὔννοι οὖν μοῦνοι ἀγαθοὶ ἁπάντων
πρῶτοι ἀνθρώπων περὶ τοῦ παρόντος
εἰσὶ κινδύνου ταραχὴν καὶ οἶδμα
τῶν ἀπὸ Τούρκων.

Τούσδε οὖν Τούρκοις παράβαλλε ἄνδρας
ταῖς μάχαις πάσαις δοκίμους γε ὄντας·
χρήμασιν τούτους τρέφε πολεμοῦντας
πάντα τελέσσων.

Ὡς νεὼν αὐτοῦ ἅγιον φυλάξων
Christus humani generis redemptor
σοὶ λεὼν αὐτοῦ παραδοὺς φανεῖται
Paule Secunde.

Οὐ σὺ πρὸς δόξην τυχερὰν ματαίως
pectus excelsum pater alme vertis:
σοὶ γὰρ ὁ Χριστὸς κλέος ἐστὶ μοῦνος
spesque decusque.

Χριστὲ δὸς Παύλῳ ἑκατὸν Σεκούνδῳ @1
saecla praesentis bene grata vitae,
εἶτα δὸς βαίνειν ἀνὰ τοῦ Ὀλύμπου
aurea tecta. @1

Prev | Next

## Cite this Work

**E.V. Maltese, *Francesco Filelfo De psychagogia*, Alessandria, Italy: Edizioni dell'Orso, 1997: 29-143.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3293:004:105871

## Translation

## Morphological Analysis and Lexica

## N-grams

## Statistics